Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: vjk-aa

*Ἱππιατρικὰ τὰ ἀνώνυμα* · Hippiatric Compilation Anonymous

# London Additions to Cambridge Veterinary Texts

*Προσθήκαι Λονδίνου πρὸς τὰ Κτηνιατρικὰ Καίμπριτζ*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

1 Τιβερίου εἰς τὸ αὐτὸ πάθος τοῦ πυρετο ῦ . Τοῦ πυρετοῦ ὄντος σημεῖα τάδε· τὸ σῶμα γίνεται ἔξιδρον καὶ τὰ ἄκρα τῶν ποδῶν ψυχρά. τὰ ὦτα καὶ ἡ καρδία σφάλλει, μυκτῆρες κατατεταμένοι καὶ οἱ κρεμαστῆρες μετέωροι. ἐὰν δὲ τρίτη ἡμέρα διέλθῃ, μὴ κολλῶ τῷ τοιούτῳ, παραυτὰ γὰρ τελευτᾷ. εἰ δὲ οἱ πόδες μόνοι ψυχροί εἰσι, κολλῶ ἐλπίζων θεραπεῦσαι. θεραπείᾳ δὲ δεῖ χρῆσθαι τοιαύτῃ· λαβὼν τῆλιν βεβρεγμένην καὶ σταφίδας δὸς φαγεῖν, καὶ μετὰ τὸ φαγεῖν περίβαλλε σαγίοις καὶ δὸς περιπάτῳ ὥραν μίαν, καὶ χλωρὸν φαγεῖν, ἵνα καταψύξῃ αὐτὸν καὶ παρηγορηθῇ. καὶ γὰρ καίεται αὐτοῦ τὰ ἔσωθεν. τοῦτο ποίει ἔστ᾽ ἂν ὑγιάνῃ. Ἀρ [ρ ]άβων 〈ἄρχων〉 Τεῦθρις Τιβερίῳ Καίσαρι Ῥωμαίων περὶ ἀνατομῆς γυπός [καὶ ὅτι γένεσεις πυρετῶν τέσσαρες].

2 Ἔλαβον πολυτελῆ δῶρα διὰ κεντηρίωνος Μοντανίου Φρόντωνος, ἃ ἔπεμψάς μοι ἄξια ὑπὸ σοῦ βασιλέως πεμφθῆναί μοι. ἔπεμψα δέ σοι καὶ αὐτός, ἃ ἐδόκει πολυτελῆ φέρειν 〈τιμὴν〉 τῇ ἡμετέρᾳ τέχνῃ πολυτελέστερα, οἷς οἱ πρόγονοί μου ἐχρήσαντο πρὸς σωτηρίαν καὶ χρείαν ἀνθρώπων, ἃ μέχρι τῆς δεῦρο ἡμέρας τῇ ὑμετέρᾳ οὐκ ἐξεδόθη. μάταιοι δέ εἰσιν Ἕλληνες οἱ γύπα διώκοντες καὶ ὡς ἐχθρῷ προσέχοντες, μὴ ἐπιστάμενοι τὰς ἐξ αὐτοῦ ὠφελείας. — πρῶτον μὲν γάρ ἐστιν ἴαμα τὸ ἐκ τῆς κεφαλῆς αὐτοῦ ὀστέον, ὃ κεφαλαλγίαν ἰᾶται περιαπτόμενον τῷ πάσχοντι.

3 ὁ δὲ ἐγκέφαλος ἰᾶται τὴν λεγομένην ὑπὸ τῶν ἰατρῶν κεφαλαίαν, χριόμενος μετὰ ἐλαίου παλαιοῦ καὶ κεδρίας βραχείας ψαυόμενος εἰς τοὺς μυκτῆρας. τίνι μὲν γὰρ ἐνεργεῖ, οὐκ ἔχοιμι εἰπεῖν, τὸ δὲ 〈ὅ〉 τι ἰᾶται, ἡ κατάληψις μαρτυρεῖ. ἧπαρ δὲ αὐτοῦ τριβόμενον μετὰ τοῦ ἰδίου αἵματος καὶ διδόμενον μετὰ ὀξυμέλιτος ἐπὶ ἡμέρας τρεῖς ἢ καὶ ἑπτά, ὃς ἂν πίῃ αἱμαπτοϊκὸς ἰᾶται. τὸ δὲ αἷμα καὶ ἄλλην ἔχει δύναμιν. μετὰ γὰρ χαμαιλέοντος μέλανος ῥίζης τριβόμενον καὶ ἐπιτιθέμενον λέπραν θεραπεύει, ἐπάνω κράμβης ἢ σεύτλων φύλλων κολλωμένων. χολὴ δὲ αὐτοῦ μετὰ πρασίου χυλοῦ καὶ μέλιτος Ἀττικοῦ ὀλίγου πᾶσαν ἀμαύρωσιν καὶ ἀχλὺν ὀμμάτων περιαιρεῖ καὶ τὰς ἀρχομένας ὑποχύσεις οὐ 〈κ〉 ἐᾷ συστῆνα ι .

4 στόμα δὲ αὐτοῦ καὶ ἡ γαστὴρ ξηρανθεῖσα καὶ μιγεῖσα ἐλαίῳ δαφνίνῳ ἰᾶται τοὺς ὑπὸ ψύχους κακωθέντας. ὁ πνεύμων δὲ αὐτοῦ κα 〈υ〉 θεὶς ἐπὶ ἀνθράκων ἀμπελίνων μετὰ ῥοᾶς λέπους ἢ μίσεος καὶ κρόκου ὁμοίως τοὺς αἷμα ἀναδόντας ἰᾶται πινόμενος νυκτὸς καὶ ὄρθρου. εἰ μέντοι ὑποπύρετός ἐστι, μετὰ οἴνου μέλανος ἰᾶται. ἔπειτα περιαπτόμενος παιδίοις ἀπὸ παντὸς φαντάσματος καὶ πνεύματος αὐτὰ φυλάσσει. γλῶσσα δὲ αὐτοῦ περιαφθεῖσα περὶ τὸν τράχηλον

τοὺς τὴν σταφυλὴν πάσχοντας ἰᾶται. τὸ δὲ ῥύγχος αὐτοῦ περιαφθὲν περὶ τὸν τράχηλον ἀρτηριακοὺς καὶ δυσεντερικοὺς ἰᾶται. ὀφθαλμὸς δὲ αὐτοῦ οὐκ ἐᾷ ὀφθαλμιᾶσαι.

5 πρὸς δὲ τὰς ὑποχύσεις καὶ σφοδρὰς ἀμαυρώσεις καὶ ἀμβλυωπίας τοὺς ὀφθαλμοὺς περὶ τὸν τράχηλον περίαπτε. ἔστωσαν δὲ εἰς ὀθόνην καθαρὰν ἐνδεδεμένοι. καὶ ἐὰν ἄλλως πάθη καὶ περιάψηται, οὐ μὴ ὀδυνηθῇ περὶ τοὺς ὀφθαλμούς. καρδία δὲ αὐτοῦ τοῦ ζῴου ξηρανθεῖσα καὶ καεῖσα ἔμβα 〈μ〉 μα γίνεται μετὰ κυμίνου καὶ πεπέρεος ἢ φύλλου καὶ νάρδου καὶ ὄξους δριμυτάτου καὶ γάρου. ὅταν δειπνήσῃς καὶ μέλλῃς καθεύδειν, εἰ ψωμὸν ἐμβάψεις εἰς τὸ ἔμβαμμα, μίξας ἐκ τῆς κοιλίας τὸ αὔταρκες, εἶτα φάγῃς, οὐ μὴ ἀπεπτήσῃς. τὸ δὲ ἀφόδευμα τοῦ ζῴου ὑποθυμιώμενον γυναικὶ τικτούσῃ οὐκ ἐᾷ κατασχεθῆναι τὸ βρέφος πολλὴν ὥραν. σκευάσεις δὲ ὀφθαλμικὸν ἵπποις καὶ λοιποῖς ζῴοις χολὴν τοῦ γυπὸς καὶ λαγωοῦ πιτύαν καὶ μαράθου τὸν χυλὸν καὶ κρόκον μίξας ὁμοῦ· χρῶ κατὰ παντὸς λευκώματος. σκευάσεις δὲ καὶ ἄλλως· τοῦ αὐτοῦ ζῴου χολήν, λαγωοῦ πιτύαν, κυνὸς θηλείας γάλα, πρασίου τὸν χυλόν, μέλιτος Ἀττικοῦ, λειώσας ὁμοῦ χρῶ. Πυρετῶν εἰσι γενέσεις τέσσαρε ς .

6 Ὁ μὲν ἀπὸ πυρός, ὁ δὲ ἀπὸ ἀέρος, ὁ δὲ ἀπὸ ὑγροῦ, ὁ δὲ ἀπὸ ψυχροῦ. καὶ τὸν μὲν ἀπὸ πυρὸς συνεχῆ εἶναι, τὸν δὲ ἀπὸ ἀέρος μὴ συνεχῆ, 〈τὸν δὲ ἀπὸ ὑγροῦ * * 〉 , τὸν δὲ ἀπὸ ψυχροῦ τεταρταῖον. [ἀπεδοκιμάσθη.] Τιβερίου βοήθημα πρὸς τοὺς μαλίζοντας ἵππου ς .

7 Ἵππῳ μᾶλις ἐὰν ἐνοχλῇ, σικύου ἀγρίου ῥίζαν ὑλισθεῖσαν ἐγχυμάτιζε καὶ θεραπεύσεις, ἢ βύσσον περίαπτε. Τοῦ αὐτο ῦ .

8 Ἀγρίου σικύου τῆς ῥίζης χυλὸν ᾠὸν ἕν, γάρου τοῦ ἐξ ἰχθύων δύο ᾠά, ἐλαίου χρηστοῦ δύο ᾠὰ διὰ ῥινῶν ἐγχυμάτιζε ἀέρος ὄντος θερμοῦ. πρῶτον δὲ ἄλειφε τὰς ψόας καὶ τὸ μέτωπον. 〈Ὀφθαλμικό ν .

9 〉 * * * πτερῷ τοῦ αἵματος καταχρίειν τὸν τόπον. ἢ φοίνικας ἢ ῥόδου φύλλα, ᾠὰ ἑφθὰ δύο, τοὺς φοίνικας ἐκτὸς τῶν ὀστέων μετὰ τῶν λοιπῶν συλλειώσας ἐπίπλαττε. περιαπτείτω δὲ ὀλίγα. Τοῦ αὐτοῦ περὶ ὑποχύματο ς .

10 Ἐὰν ἵππῳ ἢ ἄλλῳ τινὶ ὑποζυγίῳ ὀφθαλμὸς ὑποχυθῇ, ἔστι μὲν τὸ πάθος πονηρόν, σημεῖα δέ ἐστι τούτου τοιάδε· ὁ ὀφθαλμὸς τῇ πρώτῃ ἡμέρᾳ φαίνεται καθαρός, βλέπει δὲ οὐδέν. θεραπεία δὲ ὡς ἄνωθεν εἴρηται πρὸς τὰ γλαυκώματα. ἐὰν δὲ ἐν τῷ ὑποχρίεσθαι ὁ ὀφθαλμὸς ὕφαιμος γένηται καὶ δακρύσῃ, ἔσται ὑγιής. ἐὰν δὲ ὑπολάμπῃ ὥσπερ χροιὰ μέλιτος Ἀττικοῦ ἐν τῷ μέσῳ, οἱ τοιοῦτοι οὐ θεραπεύονται διὰ τὸ ἤδη πεπηγέναι εἰς ἕνα τόπον. συμβαίνει δὲ αὐτοῖς γίνεσθαι τὰ γλαυκώματα καὶ τὰς ὑποχύσεις ἀπὸ τοῦ ἐγκεφάλου καὶ τῆς διατρήσεως τῆς ἐπὶ τὸν ὀφθαλμόν, ὅταν ὁ ἰχὼρ παραρρυῇ δριμὺς καὶ χολώδης. Πελαγωνίου πρὸς σιμβλίασι ν .

11 Σμύρνης γο τὸ c ʹ, λιβάνου ἀρσενικοῦ γο βʹ, κρόκου Σικελικοῦ γο βʹ λειώσας καὶ σήσας ἐπίβαλε οἶνον Φαλιήρινον καὶ ὕδωρ ὄμβριον καὶ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν καὶ ἐν ἀγγείῳ ὑελίνῳ ἀποθέμενος χρῶ. Θεραπεία πρὸς ἐπιφορά ς .

12 Ἀπὸ τῶν δεξιῶν μερῶν τοῦ ὀφθαλμοῦ αἷμα λάμβανε καὶ μέλιτι πρωτείῳ μέχρι παντελοῦς ὑγείας ἔγχριε. Εἰς [γ ]λεύκωμα χρόνιο ν .

13 Μέλανος ὄρνιθος τῆς κοιλίας τὸν λεπτώδη ὑμένα φρύξας ἐν ἡλίῳ ἢ ἐν καπνῷ μῖξον πεπέρεος, ἅλατος Γαγγρηνοῦ καὶ ὄστρακον σηπίας, καὶ τρίψας ὡς χνοῶδες ἐμφύσσα διὰ καλαμίσκου, ἢ χρυσολαχάνου σπέρμα τρίψας χρῶ. Εἰς λεύκωμα τραχ ύ .

14 Τὸ ζωύφιον ὃ καλεῖται μυριόπους, κόψας ἐπίπασσε τὸν ὀφθαλμόν. Θεραπεί α , ὅταν μύῃ ὁ ὀφθαλμό ς .

15 Ἀνθρώπου κόπρον ξηρὰν τρίψας ἐπίπασσε. Ἐκ κοίλου βάθους ἀνάγον τὰς σύριγγα ς .

16

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Χαλκίτεως ὀπτῆς γο β′ κτλ. ἀπόθες εἰς ἄγγος ὑέλινον, ἢ μέλιτι πρωτείῳ λιβανωτὸν λελειωμένον μίξας χρῶ, ἢ ἰὸν καὶ χαλκίτην μέλιτι μίξας χρῶ. Κολλούριον τὸ διὰ μελαντηρίας ποιοῦν οὐλὰς ὁμοχρόου ς .

17 Στυπτηρίας σχιστῆς, ἀκάνθης Αἰγυπτίας, μελαντηρίας, ἅμα λειώσας ἄλειφε προπυριῶν, ἢ μύρτων μελάνων τῶν σαρκῶν γο α′, ἀκακίας, κόμεως ἀνὰ γο α′ βρέξας ἐπίρραινε. Πρὸς γλαυκώσεις καὶ ὑποχύσεις καὶ πάσας τὰς ἀπηλπισμένας διαθέσει ς . [5]

18 Ὀποπάνακος ἐξαγ. α c ′, λυκίου Ἰνδικοῦ ἐξαγ. γ′ κερατ. ιη′, λίθου αἱματίτου ἐξαγ. α c ′, μέλιτος Ἀττικοῦ γο ς′, περιστερεῶνος χυλοῦ ἐξαγ. α c ′, ὀποβαλσάμου ἐξαγ. β′ κερατ. ς′, χολῆς αἰγείας ἐξαγ. δ c ′, τὰ ξηρὰ τοῖς ὑγροῖς συλλεάνας χρῶ. Ἕτερον πρὸς λευκώματ α . [5]

19 Χάρτην καύσας καὶ μέλι καὶ πέπερι, ἢ παιδίου κόπρον μετὰ μέλιτος ἔγχριε, ἢ κισσοῦ φύλλα ἁπαλὰ λεάνας τὸν χυλὸν ἄλειφε πτερῷ 〈ἢ〉 κλύσον νήστει διὰ τοῦ στόματος, καὶ εὐθὺς διάκλυζε οἴνῳ, ἵνα μὴ ἀδικήσῃς τοὺς ὀδόντας. ἢ χελώνην ὀρεινὴν ἔμβαλλε εἰς χύτραν καινὴν καὶ καύσας ποίει ξηρίον καὶ διὰ καλάμου τῷ ὀφθαλμῷ ἐμφύσσα, ἢ κέφαλον τὸν ἰχθὺν ἐν μηνὶ Μαΐῳ ἀγρεύσας καὶ ἀνατεμών, τούτου τὴν χολὴν ἔμβαλε τῷ ὀφθαλμῷ. 〈Εἰσ〉 ὑπονύγματα πρὸς ὀφθαλμὸν ὑπερσαρκοῦντ α . [5]

20 Χαλκοῦ κεκαυμένου, σμύρνης ἀνὰ γο α′, μέλιτος γο ς′ λεῖα τρίψας ἔγχριε. Πρὸς ὑποχύσεις πάνυ δόκιμο ν .

21 Τράγου χολήν, κρόκου, μέλιτος Ἀττικοῦ ἶσα ἑνώσας χρῶ. Ὑγρὰ ὀφθαλμικ ή .

22 Κρομμύου δριμυτάτου 〈καὶ μάλιστα Κυπρίου〉 τὸν χυλόν, μέλιτος Ἀττικοῦ ἶσα μίξας βάλε εἰς ἀγγεῖον ὑέλινον καὶ κρεμάσας εἰς καπνὸν χρῶ. Ἄλλη ἡ διὰ χολῶ ν .

23 Χολῆς ἱέρακος γο τὸ c ′, χολῆς σκάρου, πέρδικος, ἀλεκτρυόνος, γυπός, ὑαίνης, χλωρίωνος καὶ βατράχου καὶ χυλὸν μαράθρου ἀνὰ γο τὸ c ′, μέλιτος Ἀττικοῦ γο ς′, ὀποβαλσάμου γο α′, πάντα ἑνώσας χρῶ, ἢ ἐρίφου γαλαθηνοῦ χολὴν μετὰ μέλιτος ἄλειφε. Πρὸς ὑποχύσει ς . [5]

24 Ἄρτον κρίθινον καύσας ἰσχυρῶς μετὰ μέλιτος λειώσας χρῶ. Πρὸς αἰγίλωπ α .

25 Τούτους ἰᾶται κτλ. τζύπαν ἐπιτίθει. ἢ πράσιον καὶ λάπαθον ἀξουγγίῳ χοιρείῳ παλαιῷ συγκόψας ἐπιτίθει, ἢ φύλλα ἀνθεμίδος, τουτέστι χαμαιμήλου, λελειωμένα ἐπιτίθει. ἀλλὰ καὶ αὐτὸς ὁ χυλὸς τῆς πόας μετὰ ἀλεύρου πυρίνου ἀναφυραθεὶς οὐ μικρῶς βοηθεῖ, ἢ ἀρνογλώσσου φύλλα λελειωμένα. ἀλλὰ καὶ ἡ θηριακὴ μετὰ μέλιτος καὶ βαλσάμου λελειωμένη. ἀλλὰ καὶ οἱ θηριακοὶ ἅλες. τῆς δὲ τρυγόνος τοῦ πτηνοῦ θάκος μετὰ μέλιτος ἐπαλειφομένη λευκώματα ἰᾶται. Ἐκ τῶν Διοσκορίδους πρὸς ῥεῦμα ὀφθαλμῶ ν . [5]

26 Ἔστι φυτόν, ἔριν[ε]ος καλούμενον, φύεται δὲ παρὰ ποταμούς, φύλλα ἔχει ὠκύμῳ ὅμοια. τούτου τοῦ καρποῦ λαβὼν ἐξαγ. α c ′ καὶ μετὰ μέλιτος γο γ′ τοὺς ὀφθαλμοὺς ἐγχρίσας ἰάσῃ τὰ ῥεύματα. ὁ δὲ χυλὸς αὐτοῦ μετὰ θείου καὶ νίτρου ἐνσταζόμενος πόνον παύει ὀφθαλμοῦ. Κολλούριον τὸ καλούμενον φῶς ἢ ἀκτὶς ἀποκρουστικὸν μονοήμερο ν , ποιοῦν πρὸς σταφυλώματα καὶ λευκώματα καὶ οὐλὰς καὶ τραχώματα καὶ παλαιὰς διαθέσει ς . [5]

27 Χαλκοῦ κεκαυμένου γο ς′, καδμείας κεκαυμένης πεπλυμένης, ναρδοστάχυος, λίθου αἱματίτου, λυκίου Ἰνδικοῦ, κρόκου ἀνὰ ἐξαγ. δ c ′, πεπέρεος λευκοῦ κοκκία λγ′, ἀκακίας κιρρᾶς γο δ c ′, κόμεως γο δ c ′, οἴνου τὸ ἀρκοῦν. Ξηροκολλούριον πρὸς τραχώματα καὶ πτερύγι α . [5]

28 Λαβὼν χαλκὸν ἐκπύρωσον αὐτὸν εὐτόνως καὶ κατάσβεσον εἰς οὖρον ἀφθόρου παιδός. ὅταν δὲ ὁ χαλκὸς ἐν τῷ οὔρῳ λυόμενος γένηται γλοιώδης, ἀπόθου τοῦτον ἡλίῳ ξηραίνεσθαι. εἶτα σήσας λεπτῷ κοσκίνῳ λάβε ἐξ αὐτοῦ μέρη τρία, πεπέρεος μέλανος λείου μέρος α′, καὶ ἅλατος Καππαδοκικοῦ ὀλίγον προστίθει καὶ ἔγχριε τῆς ἡμέρας ἅπαξ. Τιβερίου ἀνακόλλημα ποιοῦν πρὸς παρακερκίδας καὶ σκληρώματ α . [5]

29 Τὰς ἐν ὀστέοις γινομένας παρακερκίδας ἐὰν θέλῃς θεραπεῦσαι ἄνευ καυτῆρος, θεράπευε οὕτως· λιβάνου γο αʹ, ἀμμωνιακοῦ γο αʹ, σμύρνης καὶ γύρεως ἀνὰ γο αʹ, χαλκοῦ γο αʹ, ταῦτα κόψας ὁμοῦ καὶ προσβαλὼν ὄξους καλοῦ τὸ ἀρκοῦν καὶ ἐπ᾽ ὀθονίου πυκνοῦ ἁπλώσας ἐπίθες, καὶ ἐπίδησον ἐπὶ ἡμέραις ζʹ. μετὰ δὲ τοῦτο λύσας πυρίασον ὕδατι θερμῷ, καὶ ἆρον τὸ ῥάκος καὶ ἔασον διαπνεῦσαι τὸν τόπον, καὶ τῇ ἑξῆς χρῆσαι τῇ ἀγωγῇ ταύτῃ. χωρὶς δὲ αἵματος οὐχ ἁρμόζει. Ἀφρικανο ῦ . [10]

30 Ἵππος καρδιακῷ κατεσχημένος πρῶτον τὴν καρδίαν * * ἕστηκε, καὶ τὴν κεφαλὴν κάτω βρίθει καὶ ἱδροῖ πολὺ καὶ οὐ θέλει ἐσθίειν τῶν προσφερομένων, οὐδὲ πίνει ὡσαύτως. οὐδὲ τοῦτον οὖν ἐλπὶς πολλὴ περιγίνεσθαι. ἔγχει τοίνυν τούτῳ τὰ προειρημένα ἐγχύματα καὶ τὴν ἄλλην θεραπείαν πρόσφερε. Εὐμήλου πρόγνωσι ς . [5]

31 Νεφριτικοῦ ἵππου πρόγνωσις, εἰ τὰ τῶν ὀπισθίων σκελῶν βήματα οὐκ ἐμβαίνει τοῖς ἐμπροσθίοις, ἀλλ᾽ ὅσον παλαιστὴν ἀπολείπει, καὶ ἐπισύρει τὰς ὁπλὰς καὶ τροχάζων καὶ πηδῶν ἀπολείπει τὰ σκέλη. ἐὰν οὖν ἵππος κτλ. Εἰς στρόφον ἐκ δυσπεψία ς .

32 Λαβὼν ἄκορον καὶ πέπερι καὶ νίτρον καὶ ἄνισον καὶ ὀποπάνακος τὸ ἶσον, μετὰ οἴνου παλαιοῦ δίδου. δεῖ γὰρ μὴ μόνον πεπτικὰς εἶναι τὰς δυνάμεις τῶν προσφερομένων, ἀλλὰ καὶ θερμαντικάς, ἵνα δυνατῶς ἔχωσι τὴν τῶν σιτίων ἀπεψίαν ἀποδιώκειν καὶ ποιεῖν διαπνέειν καὶ ἐξωθεῖσθαι τὸν ὄγκον τὸν ἐξ αὐτῆς προσγινόμενον. ἐὰν δὲ τὴν κοιλίαν ἀλγῇ, ὑείους ἀστραγ[γ]άλους μετὰ οἴνου λειώσας ἐγχυμάτιζε. Τιβέριο ς . [5]

33 Ἐὰν βοῦς τοὺς νεφροὺς πονέσ ῃ , σημεῖον· διὰ τῶν οὔρων φέρεται αἷμα καὶ διὰ στόματος διαρεώτερον, ὁμοίως δὲ καὶ διὰ τῶν ἀφοδευμάτων. τὸ δὲ κύριον· ἐκ τῶν ὀμμάτων ῥύεται τὸ αἷμα, καὶ διασκελίζων περιπατεῖ, τήν τε τροφὴν δέχεται πᾶσαν. τηλικαύτην οὖν ἔχει τὸ πάθος ἐνέργειαν. ὀποπάνακος οὖν γο αʹ, πεπέρεος γο αʹ, τὸν ὀποπάνακα βρέξας εἰς οἶνον παλαιόν, καὶ δαφνίδας ἑψήσας ὁμοίως ἐν οἴνῳ, τὰ λοιπὰ τρίψας καὶ σήσας πρόσμιξον τῷ ἀφεψήματι τῆς δαφνίδος σὺν τῷ ὀποπάνακι καὶ ἐγχυμάτιζε, χρίων τὸ στόμα καὶ τὴν ἕδραν. καλὸν μέν, ἐὰν δυνατόν, καὶ ὅλον τὸν βοῦν χρίειν. Τιβερίο υ . [10]

34 Σκορόδων κόψας κεφαλὰς δύο ἐπιμελῶς εἰς θυείαν, καὶ ὕδωρ ψυχρὸν ἐμβαλὼν ὡσεὶ ἡμῖναν, καὶ ἀνήθου χυλὸν συμμίξας αὐτοῖς ἐγχυμάτιζε διὰ στόματος. εἰ δὲ ὁ στρόφος ἐπικρατὴς γένηται κτλ. Τιβερίου πρὸς μαρκούριον ἀνακόλλημα ἤτοι πρὸς πόδ α , ἐὰν ἐξ ὁποιασδήποτε αἰτίας παραθλιβῇ καὶ ὑγρὸν συλλέξ ῃ .

35 Γύρεως γο βʹ, λιβάνου γο αʹ, ῥητίνης Κολοφωνίας γο βʹ, ἀμμωνιακοῦ γο αʹ, σμύρνης γο αʹ, πίσσης ξηρᾶς γο βʹ, ταῦτα πάντα κόψας καὶ φυράσας ὄξει μετὰ ὀθονίου ἐπίθες κατὰ τοῦ μαρκουρίου καὶ ἐπάνω σπόγγον ὀξυκράτου πλήρη, καὶ ἐπίστρεψον ἐπὶ ἡμέραις δυσίν, ἕως ἂν κολληθῇ τὸ φάρμακον. τῇ δὲ τρίτῃ ἆρον τὰ καταστρώματα, ἐάσας τὸ φάρμακον κεκολλημένον. Τιβέριος πρὸς νεύρων ἀγανάκτησι ν . [5]

36 Ἀλεύρου σιτίνου καὶ ἀσβέστου τὸ ἶσον μέλιτι συμμίξας κατάπλασσε, καὶ τῇ τρίτῃ λύσας κατάντλησον λινοσπέρματος καὶ τήλεως χυλῷ, ἕως οὗ ἀπολεπτύνῃ, προφλεβοτομήσας τὸν ἵππον, καὶ ὑγιὴς ἀποκατασταθήσεται. ἢ ἐλαίου, οἴνου καὶ ἁλῶν κοινῶν ἕψε, ἕως τὸ ἅλας λυθῇ καὶ χρῶ. Περὶ διακοπῆς γλώσση ς . [5]

37 Ἐὰν γλῶσσα διακοπῇ ὑπὸ σχοινίου ἢ σιδήρου ἢ ἐκ τρώσεως ἢ ὑπὸ τραυμάτων, οἴνῳ παλαιῷ στύφοντι ταύτην κλύζε. ἢ ἀλόην ἡπατικήν, σμύρναν, λίβανον, μαστίχην τρίψας, συμφύτου χυλῷ ἄλειφε τὴν πληγὴν καὶ ταῦτα ἐπίπαττε. ταχέως γὰρ ἀπουλοῖ. Ἔμπλαστρος Τιβερίου 〈πρὸς μελικηρίδασ〉 . [5]

38

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σινήπεος γο δʹ, χαλκοῦ κεκαυμένου γο ϛʹ, ἀσφάλτου Ἰουδαϊκῆς ? αʹ, στυπτηρίας σχιστῆς γο βʹ, θείου ἀπύρου γο βʹ, νίτρου Ἀλεξανδρηνοῦ γο γʹ, μίσυος γο ϛʹ, ῥοδοδάφνης φύλλων τὸ ἀρκοῦν. Τιβερίου 〈εἰς καρίδα ς .

39 〉 Θεραπεύσεις δὲ τοὺς ἔχοντας ἐπὶ τῶν χαλεπῶν τόπων τὰς καρίδας ὡς τῷ Ἱεροκλεῖ δοκε ῖ. Ἀψύρτου περὶ νευριτικῶν καὶ πρὸς τὰ κατὰ νεύρων τραύματ α .

40 Τὸν νευριτικὸν συμβαίνει τὸν αὐχένα πονεῖν κτλ. ὁ δὲ τοιοῦτος ζῆν οὐ δύναται. πλὴν ὅπερ πα ρ ʼ ἡμῶν ἐπενοήθη πρὸς τὰ τοιαῦτα κρεῖττον τραύματα · ἀμόργης παλαιᾶς κτλ. ἆρον συντόμως καὶ χρῶ. Τιβερίου κατάπλασμα πρὸς νεύρων παχύτητ α .

41 Κυπαρίσου ἀκρέμονας ἑψηθέντας, γύρεως μέρος, λίβανον μετὰ οἴνου παλαιοῦ ἀναλάμβανε καὶ ἐπιδέσμει. Ἔμπλαστρος · ἡ διὰ πέρνης ποιοῦσα πρὸς ἀγκυλώσεις καὶ συστροφὰς ἀγκυλῶν καὶ ἄρθρων πάντων καὶ ὅπου δ ʼ ἂν πεπάχυνταί τι ἢ ἐκ μαλάξεως ἀποκαθίστατα ι .

42 Λιθαργύρου ? γʹ, ζωμοῦ πέρνης ? γʹ, χαλβάνης γο γʹ, ἀμμωνιακοῦ θυμιάματος ? αʹ, σικύου ἀγρίου ῥίζης ? αʹ, ἀποβρέξας τὰς ῥίζας τοῦ σικύου ἐπὶ ἡμέρας τρεῖς ἐπίβαλλε τὴν θάλασσαν καὶ ἕψει μετὰ τοῦ ἀγριελαίου τῆς πέρνης, ἕως ἂν ποθῇ ἡ θάλασσα. εἶτα διηθήσας ῥῖπτε τὰς ῥίζας καὶ ἔα ψυγῆναι. εἶτα ἔμπ[λ]ασσε λιθάργυρον καὶ ἕψει ἕως ἀμολύντου. ἔχε δὲ τοῦ μέτρου τοῦ ζωμοῦ ἄρας ἀπʼ αὐτοῦ γο ϛʹ, ἵνα, ὅταν προσπλασθῇ[ς] τοῖς τοίχοις τοῦ κακκάβου ἡ λιθάργυρος ἐγγὺς ἀμολύντου οὖσα, οὕτως ἐπεμβάλλῃς τὰς ϛʹ γο , καὶ οὕτως συνέψῃς. εἶτα ἐπέμβαλε τὸ ἀμμωνιακόν, καὶ ἐπὶ τέλει πρόσδος χαλβάνην καὶ κατέρα εἰς θυείαν. Μάλαγμα λευκὸν πρὸς ἐκβολά ς .

43 Κηροῦ γο ϛʹ, στέατος ταυρείου γο ϛʹ καὶ νίτρου ὁμοίως. Μάλαγμα πυκνωτικό ν .

44 Ῥητίνης Κολοφωνίας ? βʹ, πίσσης ? αʹ, τερεβινθίνης γο αʹ, νίτρου γο ϛʹ, κηροῦ ? αʹ σὺν ὄξει χρῶ. Πρόχρισμα μαλακτικό ν .

45 Στέατος αἰγείου νεαροῦ γο βʹ, χαλβάνης γο βʹ, ὀποπάνακος δραχμὰς δʹ, κυπρίνου δραχμὰς δʹ. τοῦτο τὸ σύγχρισμα συγχριόμενον οὔτε συγκαῦσαι οἶδεν οὔτε τρίχας ἀπολ 〈λ〉 ύειν. Πῶς δεῖ σημειοῦσθαι τὸν στροφούμενον ἵππο ν .

46 Στροφουμένου σημεῖα ταῦτά ἐστι. πολλὰ κυλίεται, ἐγείρεσθαι οὐ θέλει, γίνεται λαυρόποτος. ἐξεγείρας οὖν αὐτὸν καὶ περιθεὶς 〈σάγον, ἐπιθεὶσ〉 ἀναβάτην ποίησον ἐλαύνειν, ἕως ἐξιδρώσῃ. εἶτα εἰσαγαγὼν αὐτὸν εἰς τὴν στάσιν καὶ μαλάξας ἐπιμελῶς ἔασον οὐρῆσαι. ἢ κύμινον κόψας καὶ φρύξας μετὰ ἐλαίου χλιαροῦ ἐγχυμάτισον, καὶ δὸς περιπάτοις· εἶτα οὕτως οὐρήσει. καὶ μετὰ τὸ οὐρῆσαι χόρτον ὕδατι βρέξας δὸς αὐτῷ διδακεῖν καὶ ἔασον διαστῆσαι. εἶτα τῇ συντάξει χρῶ *** Πρὸς τὸ μὴ ὑποτρίβειν ζῷο ν .

47 Ὄστρακον θερμάνας, ἕως ὅτε γένηται διάπυρον, ἐπίβαλλε κηροῦ, ἀξουγγίου καὶ πίσσης ἶσον, καὶ ποίησον περιπατεῖν. ἔστω δὲ κοῖλον τὸ ὄστρακον, ὅπου τίθησι τὸν πόδα τὸ κτῆνος· τοῦτο ποίει πυκνότερον, καὶ στερεοποιεῖ τοὺς πόδας. Πρὸς τὸ εἴ τι τῶν ζῴων τεκὸν μὴ στέργει ὃ ἔτεκε ν .

48 Ὀξάλμῃ σύγχριε τὰς θηλὰς αὐτοῦ. θηλαζόμενον γὰρ ἡδύνεται καὶ στέργει τὸ τεχθέν. Καθαρτικό ν .

49 Ἀμπέλου κλάδους καύσας καὶ ποιήσας στακτήν, ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισίν. τοῦτο ὁμοίως καὶ ἐ π ʼ ἀνθρώπων ποιεῖ. Ἱεροκλέους 〈περὶ μανίας καὶ λύσσησ〉 .

50 Συμβαίνει κτλ. καὶ ἀνθρώποις ἐπιτρέχει ὀφθαλμούς τε αἱμωποὺς ἔχει καὶ ἑαυτὸν ἐπὶ τοῦ τείχους καὶ τῆς φάτνης ἀράσσει. τοῦτον δεῖ φλεβοτομεῖν κατʼ ἀρχὰς ἐκ τῆς σφαγῆς καὶ ἐὰν αἷμα ῥεῦσαι πολὺ καὶ ἀναστέλλειν ἀπὸ πάσης τροφῆς. τῇ δὲ ἄλλῃ ἡμέρᾳ τρίψας πάνακα γο αʹ μετʼ ὄξους πότιζε ἐπὶ ἡμέρας δʹ καὶ παράβαλλε πράσα καὶ πάλιν φλεβοτόμει ἀπὸ τῆς κλειδό ς.

ἐπὰν δὲ καθαρισθῇ, δίδου τροφὴν καὶ ἐπιμελοῦ ὡς δεῖ. φασὶ δέ τινες κτλ. Ἀψύρτου ἐγχυματισμῶν σκευασίαι πρὸς ὑποζύγια πεπειραμένα ι . [5]

51 Ὑσσώπου 〈χυλοῦ〉 πόσεις β′, στάχυος, στύρακος, ἀνήσου, σελίνου τὸ αὔταρκες, πράσου δεσμίον, ὕδατος ξέστην α′, ταῦτα εἰς χύτραν καινὴν βαλὼν καθέψησον εἰς τὸ τρίτον καὶ οὕτως ἐγχυμάτιζε. Ἄλλος πεπειραμένος πρὸς μᾶλιν καὶ ἐπὶ ψυγμό ν . [5]

52 Γάλακτος αἰγείου, σησάμου λευκοῦ ὀξύβαφον λεῖον ποιήσας καὶ ὑποφώξας ἐλαφρῶς χρῶ. Τιβερίου ἐγχυματισμὸς ἐπὶ χλόη ς .

53 Κρόκου ὁλκὰς δ′, τραγακάνθης γο δ′, ἴρεως Ἰλλυρικῆς γο α′, ἀμμωνιακοῦ γο α′, οἴνου γλυκεός ξέστας δ′, ἐλαίου ξε. α′, ᾠὰ κ′. Τοῦ αὐτοῦ ἐγχυματισμὸς ἐπὶ μετοπώρο υ .

54 Πετροσελίνου Μακεδονικοῦ γο α′, πεπέρεος ὁλκὰς δ′, φύλλου γο α′, φοίνικας ξ′, ἑψηθέντας καὶ λειοτριβηθέντας, ὑδρομέλιτος ξε. α′, ἐλαίου ξε. β′, οἴνου χρηστοῦ τὸ ἀρκοῦν. Τοῦ αὐτοῦ ἐγχυματισμὸς θερινό ς .

55 Κηροῦ ὁλκὰς β′, κόστου ὁλκὴν α′, ἴρεως Ἰλλυρικῆς ὁλκὴν α′, ἀμώμου ὁλκὴν α′, τραγακάνθης ὁλκὰς β′, μέλιτος ὁλκὴν α c ′, ἐλαίου ξέστας β′, ᾠὰ κ′, οἴνου παλαιοῦ ξέστας δέκα. Πελαγωνίου πρὸς τοὺς ἐκ ῥινῶν ὑγρὸν φέροντα ς .

56 Ἡ ὑγρότης τῶν ῥινῶν διάφορός ἐστιν κτλ. ταύτας χρὴ παρατηρεῖν καὶ θεραπεύειν οὕτως· βούτυρον ἢ ἔλαιον γάρῳ μίξας κτλ. Παστίλλων σκευασία πρὸς ἐγχυματισμό ν .

57 Κόμεως Ἀλεξανδρηνῆς βαλὼν εἰς οἶνον παλαιὸν καὶ κασσίας μελαίνης γο ϛ′, κόστου γο γ′, κροκομάγματος γο γ′, κασσίας λευκῆς γο ϛ′, σμύρνης τρωγλίτιδος γο γ′, ἀλόης γο β′, σακκιπήνου γο ε′. Ποῦλβερ κουδριγάρι ν . [5]

58 Κασσίας πυρρᾶς γο ϛ′, κασσίας μελαίνης γο ϛ′, κόστου γο γ′, κυπέρου γο γ′, σπικανία λύκου γο ϛ′, κρόκου Σικελοῦ γο ι′, κροκομάγματος γο γ′, νίτρου γο ι′. Καυστικ ή .

59 Ἀμμωνιακοῦ γο ϛ′, κών[ν]ης, ἀσφάλτου γο γ′, ῥητίνης ἀστλώσης γο γ′, ἀξουγγίου γο β′, οἴνου κυάθους γ′. Ἀνακόλλημα πρὸς χωλάσματ α .

60 Κόλλης γο ϛ′, κών[ν]ης γο ϛ′, ῥητίνης ὁμοίως, γύρεως ξε. α′, ὄξος δριμὺ εἰς κάκκαβον ἑψήσας ἀνὰ τρίχα ἀνάτριψον, καὶ ὅταν πέσῃ, πάλιν χρῶ, ἄχρι καλῶς ἕξει. Πρὸς πυρεκτικὸν προπότισμ α .

61 Ἀψινθίου ⍰ α′, ἀβροτόνου ⍰ α′, ὑσσώπου ⍰ α′, κενταυρίου ⍰ α′, καλαμίνθης ⍰ α′, οἰνοκιέας ⍰ α′ εἰς χύτραν μεθ’ ὕδατος ἑψήσας, τῇ ἄλλῃ ἡμέρᾳ εἰς κέρας βαλὼν ὅσον ξέστην, ἔγχει διὰ τοῦ στόματος. Πρὸς πυρετοὺς μείζονας διὰ τοῦ στόματο ς .

62 Κόστου γο γ′, γεντιανῆς ὁμοίως, ὀποπάνακος 〈ὁμοίως, πάνακοσ〉 ῥίζης ὁμοίως, ἴρεως ὁμοίως. Μάλαγμα πυροῦ ν .

63 Κηροῦ ⍰ α′, ἀμμωνιακοῦ ⍰ α′, ῥητίνης γο ϛ′, ἀτόμου λιβάνου γο ϛ′, λιθαργύρου γο γ′, στυπτηρίας σχιστῆς γο ϛ′, ἐλαίου ὀμφακίνου γο ϛ′. Ἄλλ ο .

64 Κηροῦ ⍰ β′, κώνης ⍰ α′, βδέλλης γο ϛ′, σμύρνης γο γ′, χαλβάνης γο ϛ′, ὀποπάνακος, ἀλόης, κροκομά[λα]γματος ἀνὰ γο γ′, ἐλαίου ὀμφακίνου ⍰ α′. Ἄλλ ο .

65 Ἀξουγγίου λεοντείου γο ϛ′, στέατος βοείου θήλεος ὁμοίως, κηροῦ γο ϛ′, ῥητίνης τερεβινθίνης ὡσαύτως, θείου γο γ′, νίτρου ὁμοίως, δαφνίδων ⍰ α′, κασσίας γο ϛ′, κροκομάγματος γο γ′, προπόλεως γο ϛ′, ἀλόης γο γ′. Περὶ χηλῆ ς .

66 Ἐὰν χηλὴ ῥήγματα σχῇ ἄνωθεν ἀπὸ τῆς στεφάνης, ἐπίθες κύκλῳ ὀρόβινον μετ’ ὄξους καὶ ἐπάνωθεν σπόγγον. ἀποπυρία δὲ θερμῷ, 〈κάλλιον μέν,〉 ἐὰν ἔχῃς ἀπὸ βαλανείου τῆς ἐμβάσεως, 〈συλλαμβάνεται γάρ τι. εἰ δὲ μή γε, τὸ παρὸν χρῆσαι·〉 ἐὰν δὲ φλεγμαίνῃ, τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κιμωλίᾳ μετὰ ὄξους ἐπίχριε τὰ φλεγμαίνοντα μετὰ καὶ βολβίτου καὶ ἁλὸς λεπτοῦ. τούτοις χρῶ θερμοῖς. 〈ἐὰν ἐπιμείνῃ φλεγμονή, τὴν κιμωλίαν οἴνῳ ἑψῶν χρῶ καθὼς προγέγραπται.〉 Εἰς ψώρα ν .

67 Ὄξους δριμέος ξε. α′, πισσελαίου ὁμοίως, νίτρου ⍰ α′, λούσας κατάχριε 〈ἢ〉 τρυγελαίου ξε. α′, θείου ἀπύρου γο α′, ἀμόργης ξε. α′. Τραυματικό ν .

68 Κηροῦ Τυρρηνικοῦ γο γ′, ἰοῦ γο β′, ἀλόης γο β′, ἀξουγγίου παλαιοῦ τὸ ἀρκοῦν ἑψήσας χρῶ. πρὸς γὰρ τοὺς τραχήλους καλῶς ποιεῖ. Μάλαγμα ἐκ σύκω ν .

69 Σύκων γο γ′, νίτρου γο ς′, κυπαρίσου γο α′, στέατος ταυρείου ⍰ α′, μάννης ⍰ α′, χαλβάνης γο α′. Κυκλίσκων σκευασί α .

70 Κρόκου γο γ′, σμύρνης γο γ′, κινναμώμου γο α′, κασσίας γο β′, ἀμώμου γο β′, θείου γο δ′, νάρδου Συριακῆς γο γ′, κόστου γο γ′, ἴρεως Ἰλλυρικῆς γο γ′, ποντικοῦ γο γ′, λιβάνου ἄρσενος γο β′, πεπέρεος μακροῦ γο γ′, πεπέρεος λευκοῦ γο γ′, σχ〈ο〉ίνου ἄνθους γο γ′, μήου γο δ′, ἀκόρου γο β′, κροκομάγματος γο δ′, πετροσελίνου γο γ′, ὀποπάνακος γο δ′, ἴρεως ἀστραγάλου γο δ′, κυπέρου γο γ′, καλάμου γο ε′, γεντιανῆς γο ς′, δαύκου γο δ′, στύρακος γο δ′, καρύου γο δ′, ζιγγιβέρεως γο γ′, νάρδου καθαρᾶς γο δ′. Ἐγχυματισμό ς .

71 Σελίνου χλωροῦ γο α′, ὑσσώπου γο ς′, νάρδου καθαρᾶς γο δ′, σύκων γο β′. Σύγχρισμ α .

72 Κηροῦ ⍰ α′, στέατος χοιρείου ⍰ β′, ἐλαίου κυπρίνου ⍰ α′. Καθαρτικ ή .

73 Σμύρνης γο β′, ὀποπάνακος γο β′, ἰοῦ σκώληκος γο β′, μέλιτος ὡσαύτως. Σύνθεσις φαρμάκου συνακτικὴ πρὸς τὰ ἕλκ η .

74 Λιβάνου, σμύρνης, στυπτηρίας ἀνὰ γο β′. Κατάπλασμ α .

75 Πίσσης, ἀσφάλτου, μάννης ἶσα, οἴνου παλαιοῦ ξε. α′. Καθαρτικῶν σύνθεσι ς .

76 Σμύρνης γο ι′, λιβάνου ἄρρενος γο α′, ὀποβαλσάμου γο α′, ἰοῦ σκώληκος γο γ′, μέλιτος γο δ′, ῥοδίνου * α′. Καθαρτικὴ φθαρτικ ή .

77 Κινναμώμου, νάρδου Συριακῆς, σχ〈ο〉ίνου ἄνθους, κολοφωνίας, κόκκους ποιήσας κυάμου μέγεθος δίδου δι’ οἴνου, μέλιτος μίξας γο β′. Τραυματικό ν .

78 Χαλκοῦ κεκαυμένου γο γ′, λεπίδος χαλκοῦ γο γ′, κηκίδος γο γ′, σιδίων ὁμοίως, στυπτηρίας σχιστῆς, σμύρνης ἀνὰ γο β′, στυπτηρίας στρογγύλης, μίσυος, χαλκάνθης, ὑσσώπου, ἀφονίτρου, λιβάνου ἀνὰ γο γ′ ὄξει διεὶς τὰ ξηρὰ λέαινε. εἶτα τούτων τὰ ῥυπαρὰ χέων, ὄξος ἐμβαλὼν λέαινε κατ’ ἰδίαν, μετὰ δὲ ταῦτα μῖξον εἰς τὸ αὐτὸ καὶ ἕψει. Ἀπολλωνίου μάλαγμα ποιοῦν εἰς νεῦρα κεχαλασμέν α , ἔτι δὲ καὶ εἰς ποδάγραν ἀνθρώπω ν .

79 Κηροῦ ⍰ α′, κισσήρεως ⍰ α′, ἐμβαλὼν εἰς θυείαν διάτριβε ὑπέρῳ μολιβδίνῳ, ἕως οὗ ἀποτριβῶσι μολίβδου γο β′ καὶ ὅταν λεῖον ποιήσῃς, σ[τ]ῆσον, καὶ πάλιν ἐμβαλὼν εἰς θυείαν τρῖβε τῷ μολίβδῳ, παρεπιχέων μέλιτος γο γ′ καὶ ὄξους τὸ ἱκανόν. εἶτα μαρμάρου κεκομμένου ⍰ α′ κόψας σῆθε, καὶ ἐμβαλὼν καρδάμ[ωμ]ου σπέρμα φρῦξον ἐν ὀστράκῳ καὶ τρίψας σῆσον, εἶτα χαλβάνην κόψας, καὶ ἐξελὼν ἐκ τοῦ ὅλμου, λαβὼν μυελὸν ἐλάφειον καὶ ἐλαίου τὸ ἱκανὸν καὶ τούτῳ διεὶς καὶ ἀναμάξας πάντα, ποιῶν μάλαγμα χρῶ. Μάλαγμα πρὸς νεῦρα κεχαλασμέν α .

80 Μίλτου ⍰ α′, μάννης ⍰ α′, ἀσφάλτου ⍰ α′, σεμιδάλεως ξε. α′, οἴνου παλαιοῦ τὸ ἱκανὸν ἐμβαλὼν εἰς χύτραν καὶ τὰ λοιπὰ προσβαλὼν τετριμμένα, εἰς τὸ αὐτὸ ἕψει. Ἄλλο δεδοκιμασμένο ν .

81 Κηροῦ ⍰ α′, ῥητίνης ⍰ α′, πίσσης γο ς′, στυπτηρίας τὸ ἶσον. Ἀγκύλης ἀλγούσης φάρμακο ν .

82

Κρόκου γο β′, χαλβάνης γο β′, ῥητίνης φρυκτῆς γο ϛ′, ἀσφάλτου γο ϛ′, ἀμμωνιακοῦ γο α′, ἐλαίου στυρακίνου γο α′ ἐν ὕδατι μίξας χρῶ. Ἀρτηριακ ή .

83 Τραγακάνθης μνᾶς γ′, κρόκου μνᾶν α′, πεπέρεος γραμμάρια η′, μέλιτος μνᾶς γ′, τὴν τραγάκανθαν διεὶς οἴνῳ γλυκεῖ, τὰ δὲ λοιπὰ λεάνας καὶ μίξας χρῶ. Τροχίσκος ἀρωματικό ς .

84 Σμύρνης γο ι′, κινναμώμου γο γ′, λιβάνου γο γ′, κασσίας δραχμὰς η′, πεπέρεος δραχμὰς γ′, βδελλίου δραχμὰς ε′, καλάμου δραχμὰς ε′, σελίνου σπέρματος, ἴρεως Ἰλλυρικῆς ἀνὰ δραχμῶν β′ οἴνῳ παλαιῷ ἀναλύσας χρῶ. Ἀρρώστων ἀνάληψι ς . [5]

85 Βδελλίου, χαλβάνης, μάννης, ἀμμωνιακοῦ, ῥητίνης, ἴρεως Ἰλλυρικῆς, τούτων ἑκάστου τὸ ἶσον, κηροῦ τὸ διπλάσιον, κυπρίνῳ ἐλαίῳ ἀναλάμβανε. Μάλαγμα πρὸς πάντ α .

86 Πεπέρεος γο α′, χαλβάνης γο α′, σμύρνης γο α′, ἀριστολοχίας Κρητικῆς γο α′, ἴρεως Ἰλλυρικῆς γο α′, πευκεδάνου γο γ′, κρόκου γο α′, συκαμίνου ὀποῦ γο α′, πυρέθρου γο α′, κόκκου Κνιδίου γο δ′, ἀμώμου γο α′, ὀποβαλσάμου γο β′, καρδαμώμου γο α′, ἰρίνου ἑξαγ. α′, κηροῦ τὸ ἀρκοῦν. Φαβρικιανοῦ κυκλίσκοι πρὸς μᾶλιν καὶ ποδοκρούσματ α . [5]

87 Κινναμώμου γο γ′, κασσίας γο γ′, σμύρνης ὡσαύτως, σαγαπηνοῦ γο ε′, κρόκου γο β′, λιβάνου γο δ′, νίτρου γο α′, ταῦτα λεάνας καλῶς μεθ’ ὕδατος ἀνάπλαττε καὶ κυκλίσκους εὐμεγέθεις ποίει καὶ χρῶ μεθ’ ὑδρομέλιτος. Πρὸς διαφορὰν ὑποζυγίω ν . [5]

88 Κυνορίζης τὸν φλοιὸν κόψας δίδου φαγεῖν νήστει ἢ πιεῖν ἐκ τοῦ ζωμοῦ αὐτοῦ ὅσον εἰς κοτύλας β′, καὶ μάνναν δὲ τρίψας δὸς μετὰ οἴνου, καὶ λοῦε θερμῷ ὕδατι πλεῖστον. Ἄλλ ο .

89 Σανδαράχην διεὶς ὕδατι ἔγχει εἰς τοὺς μυκτῆρας. Ἄλλ ο .

90 Ἐλλέβορον τρίψας διεὶς ὕδατι ἔγχει εἰς τοὺς μυκτῆρας. ἐὰν δὲ καὶ συντρίψας μίξῃς τοῖς ἀχύροις, τὸ αὐτὸ ποιεῖ. ἔστω δὲ ὡς πλεῖστον. Γλευκιρίνου σύνθεσι ς .

91 Ἐλαίου 〈ἰρίνου〉 ∞ γ′, γλεύκους ὠμοῦ ∞ ιε′, καλάμου ⍰ α′, νάρδου δεσμὰς δ′, κυπέρου ⍰ β′, κυπαρίσου ἀρωματικῆς ⍰ β′, κόστου γο ϛ′, τρωγλίτιδος γο β′, κασσίας ⍰ α′, δαφνίδων περυσινῶν φύλλων ∞ β′, ἀμώμου γο δ′. ταῦτα πάντα κόψας λεῖα βάλε μετὰ τοῦ ἐλαίου καὶ τοῦ γλεύκους εἰς χύτραν καινὴν καὶ ἕψει. Ἀψύρτου σκευασία ἐγχυματισμοῦ ἀρωματικο ῦ . [5]

92 Φύλλου γο c ′, κόστου γο γ′, ναρδοστάχυος γο c ′, μελιλώτου γο α′, νάρδου Κρητικῆς γο c ′, ἀμώμου γο c ′, καρποβαλσάμου γο c ′, ἴρεως Ἰλλυρικῆς γο α′, σχ〈ο〉ίνου ἄνθους γο α′, σαμψύχου γο α′, κασσίας γο α′. Τοῦ αὐτοῦ ἑτέρα σκευασία ἐγχυματισμοῦ διὰ πικρᾶ ς . [5]

93 Πευκεδάνου, γεντιανῆς, κολοκυνθίδος ἀνὰ γο γ′, κενταυρίου γο δ′, ἀλόης γο β′, ἀψινθίου γο γ′. Ἐγχυματισμὸς πυκνωτικό ς .

94 Σμύρνης τρωγλίτιδος γο δ′, ἀλόης, κασσίας ἀνὰ γο β′, ἴρεως γο α′, συμφύτου γο ε′, καλαμίνθης γο γ′, μετὰ οἴνου καὶ ἑψήματος. Εἰς περιπνευμονικού ς .

95 Κροκόμαγμα εἰς οἶνον μέλαν 〈α〉 ἐμβρέξας ἰσχυρῶς μετὰ φοινίκων εὐσάρκων μεγάλων καὶ στροβίλων μέλιτι λειώσας οἴνῳ ἐγχυμάτιζε. Ἐγχυματισμὸς χαλαστικό ς .

96 Κυμίνου, πετροσελίνου, σελίνου, κοριάνου ἀνὰ γο α′, κράμβης γο β′, καρδαμώμου ὁμοίως. Ἄλλο 〈πρὸς πάντα πόνον 〉 .

97 Οἴνου, κόστου ἀνὰ γο α′, μαράθρου, πεπέρεος λευκοῦ, σμύρνης ἀνὰ γο α′. Σύνθεμα καθαρτικό ν .

98 Σμύρνης γο ι′, λιβάνου ἄρρενος, ῥοδίνου ἀνὰ γο α′, ἰοῦ σκώληκος γο α′, μέλιτος γο δ′. Θεοῦ διδόντος οὐδὲν ἰσχύει φθόνος, καὶ μὴ διδόντος οὐδὲν ἰσχύει πόνος. Τιβέριος περὶ βοῶ ν .

99 α′. βοῦς ἐὰν νοσήσωσιν ἢ τοὺς πόδας ὑποτρίψωσιν. — β′. βόας μὴ ἀσθενεῖν. — γ′. βόας ἐὰν λημμώσωσιν. — γ′. βοῦν νοσοῦντα ἰᾶσθαι. — ε′. βοῦν αἱμορροοῦντα παῦσαι. — ϛ′. . βόας μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψωριᾶν. — ζʹ. βοὸς νέματα ὁρμάσαι καὶ κατεαγμένα. — ηʹ. βοὸς ὄνυχας θεραπεῦσαι. — θʹ. βόας ὀστέα μὴ καταπίνειν. — ιʹ. βοῶν ζεῦγος μὴ κοπιᾶν. — ιαʹ. ἐὰν θελήσῃς φορβάδα ἢ ὀνάδα ἄρρενα συλλαβεῖν. — ιβʹ. περὶ βοῶν κατακρανίας. — ιγʹ. περὶ φθειριάσεως. — ιδʹ. περὶ πυρέσσοντος. — ιεʹ. περὶ κεφαλαίας. — ιςʹ. περὶ χολέρας. — ιζʹ. περὶ χωλείας γονάτων βοῶν. — ιηʹ. ἐὰν βοῦς ἐνκεφάλησ(!) γένηται. — ιθʹ. χολέρας ὑγρᾶς ἐν βουσίν. — κʹ. τραύματος γενομένου ἐν τοῖς κοίλοις. — καʹ. πρὸς ἀτονίαν βοῶν. — κβʹ. πρὸς θραύματα(!) καὶ ἕλκη. — κγʹ. ῥέου δύναμις. — κδʹ. . σκευασία ἁλῶν ποιοῦσα πρὸς κακοχυμίαν. — κεʹ. πρὸς κῶλον. — κςʹ. μασθοὺς ὀρθοὺς ποιῆσαι. — κζʹ. μαστοὺς γυναικὸς μὴ ἐπαίρεσθαι εἰς τὸ παντελές. — κηʹ. πρὸς ξηρὰν βῆχα. — κθʹ. τὸ πάμμυρον. — λʹ. ἀρτυσία τοῦ ὕδατος. — λαʹ. ἀρτυσία τοῦ οἰνανθίου. — λβʹ. σκευασία κοραλλίων θυμίαμα. — λγʹ. ἀρτυσία θυμιαμάτων πουκταρίων. — λδʹ. ἄλλο. — λεʹ. σκευασία θυμιαμάτων. — λςʹ. σκευασία θυμιαμάτων πρὸς σπλῆνα. — λζʹ. ἐγχυματισμὸς ἡμερινῆς. — ληʹ. ἕτερος ἐγχυματισμὸς πάντοτε. — λθʹ. ἕτερος ἐγχυματισμὸς θερινός. — μʹ. διάγραφον πικροῦ. — μαʹ. ἐγχυματισμὸς πρὸς πυρετὸν ἵππων τὸ πηγάνατον. — μβʹ. κηρωτὴ πρὸς ἐκβολὰς γονάτων. — μγʹ. πρὸς λεύκωμα. — μδʹ. πρὸς σύριγγα. — μεʹ. χαλαστικὸν πρὸς τοὺς νεκροπονοῦντας. — μςʹ. σκευασία ἐγχυματισμοῦ θερείας καὶ χειμῶνος. — μζʹ. πρὸς ὑποτριμμὸν ζῴων καὶ ἁπαλοποδίας. — μηʹ. ἄκοπον θερμαντικὸν ἁρμόζον νεφριτικοῖς. — μθʹ. ἐπὶ κεφαλῆς ἐὰν γένηται. — νʹ. περὶ χολέρας ὑγρᾶς. — ναʹ. σκευασία χαλαστική. — νβʹ. σκευασία μαλάγματος. — νγʹ. σκευασία μεσοπικρά. — νδʹ. σκευασία ἀρωματική. — νεʹ. σκευασία διὰ πικρίου. — νςʹ. σκευασία ἐγχυματισμοῦ πυκνωτικοῦ. — νζʹ. ξηρία καυστικά. — νηʹ. κολλύριον δριμύ. — νθʹ. περὶ οἴστρου βοῶν. — ξʹ. περὶ χωλειάσεως βοῶν ἐν γόνατι. [35]

Eulogikon public reading copy · View original HTML at eulogikon.org